**Platão, *Críton* 51a7-c3**

ἢ οὕτως εἶ σοφὸς ὥστε λέληθέν σε ὅτι

(1) μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν **ἐστιν** πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι,

(2) καὶ σέβεσθαι **δεῖ** καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν ἐάν τι προστάττῃ παθεῖν ἡσυχίαν ἄγοντα, ἐάντε τύπτεσθαι ἐάντε δεῖσθαι,

(3) ἐάντε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, **ποιητέον** ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ **ὑπεικτέον** οὐδὲ **ἀναχωρητέον** οὐδὲ **λειπτέον** τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ **ποιητέον** ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς,

(4) ἢ πείθειν [**δεῖ**] αὐτὴν ᾗ τὸ δίκαιον πέφυκε·

(5) βιάζεσθαι δὲ οὐχ ὅσιον [**ἐστιν**] οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα;